τορικῆς διδάσκαλος, τούτων μὲν οὐδὲν διδάξεις τὸν ἀφικνούμενον, οὐ γὰρ σὸν ἔργον, ποιήσεις δ' ἐν τοῖς πολλοῖς δοκεῖν εἰδέναι αὐτὸν τὰ τοιαῦτα, οὐκ εἰδότα, καὶ δοκεῖν ἀγαθὸν εἶναι, οὐκ ὄντα; ἢ τοπαράπαν g) οὐχ οἷόςτε ἔσει αὐτὸν διδάξαι h) τὴν ῥητορικὴν, ἐὰν μὴ προειδῇ περὶ τούτων τὴν ἀλήθειαν; ἢ πῶς τὰ τοιαῦτα ἔχει, ὦ Γοργία; καὶ πρὸς Διὸς, ὥςπερ ἄρτι εἶπες, ἀποκαλύψας i) τῆς ῥητορικῆς εἰπὲ τίς ποθ' ἡ k) δύναμις ἐςίν. ΓΟΡ. Ἀλλ' ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, ἐὰν τύχῃ μὴ εἰδὼς, καὶ ταῦτα παρ' ἐμοῦ μαθήσεσθαι l). ΣΩ. Ἔχε δή. m) καλῶς γὰρ λέγεις· ἐάνπερ ῥητορικὸν σύ τινα ποιήσῃς, ἀνάγκη αὐτὸν εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα, ἤ τοι n) πρότερόν γε ἢ ὕςερον μαθόντα παρὰ σοῦ. ΓΟΡ. Πάνυ γε. ΣΩ. Τί οὖν; ὁ τὰ τεκτονικὰ μεμαθηκὼς, τεκτονι-

g) Cod. Aug. τὸ παράπαν.

h) Cod. vterque διδάξαι αὐτόν.

i) Petuntur hic a Socrate verba, quibus Gorgias ſupra Sect. 10. vſus erat. Ἀλλ' ἐγώ σοι (πειράσομαι, ὦ Σώκρατες, σαφῶς ἀποκαλύψαι τὴν τῆς ῥητορικῆς δύναμιν ἅπασαν.

k) Ald. Baſ. vtraque ποτ' ἡ.

l) Cod. Aug. Ald. Baſ. 1. μαθήσεται. In Cod. Meerm. etiam eadem manus ſuper σθαι ſcripſerat ται. Ficinus: *eum a me percepturum ea arbitror*.

m) Idem fere, quod ἔμμενε τούτοις de Rep. I. p. 184. Vol. VI. Vid. Ind. v. Ἔχειν. Ariſtides Orat. II. Platon. p. 167. addit καὶ σκόπει.

n) Baſ. 2. ἤτι, vitioſe. Statim poſt in Baſ. 1. legitur περὶ pro παρά· quarum praepoſitionum permutatio in libris, et ſcriptis, et editis, ſolennis eſt, atque in hoc ipſo dialogo eius exempla alia occurrunt.